ρέως ὅτε ἐνεδιδύσκετο τὸν ποδήρη, καὶ ἐ-
πάνω τοῦ ποδήρους ἐπενεδύετο τὴν ἐπω-
μίδα. κατέβαινε δὲ ἡ ἐπωμὶς ὀλίγον κατώ-
τερον τοῦ στήθους. ἦν γὰρ σπιθαμῆς καὶ ἡμι-
σείας τὸ μῆκος. ἐκ δεξιῶν δὲ καὶ ἐξ εὐωνύ-
† ὤμων μων ἐπάνωθεν τῶν † μαζῶν, ἐν ᾗ δύο ἀ-
σπιδίσκοι ἦσαν συνεῤῥαμμένοι, ἀπηώρηντο
δύο σμάραγδοι. εἰς μέσον δὲ τούτων ἦν ἡ
† ἤτοι ὁ δήλωσις, † ὃς ἦν ὁ δηλωθεὶς ἀδάμας, τὴν
δηλ. χροιὰν ἀμείβων. ἐπάνω δὲ τῶν ὤμων οἱ δηλω-
θέντες δώδεκα λίθοι. τρὶς δὲ ὡς εἴρηται τοῦ
ἐνιαυτοῦ ἐδηλοῦτο ὑπὲρ λαοῦ διὰ τοῦ πετά-
λου. καὶ εἰ ἐν ἁμαρτίᾳ εὑρέθησαν, καὶ μὴ ἐν
ταῖς ἐντολαῖς, ἃς ἐδεδώκει ὁ θεὸς, ἐτρέ-
πετο φασὶν ἡ χροιὰ τοῦ λίθου, καὶ ἐγίνετο μέ-
λας. καὶ ἐκ τούτου ἐγίνωσκον ὅτι θάνατον
ἐξαπέστειλε κύριος. ἡνίκα δὲ ἐν μαχαίραις
αὐτοὺς ἐπέμπεν, ἐγίνετο αἱμάτινος: ὡς ἐν
τῷ Ἱερεμίᾳ φησίν: Ἐξαπόστειλον τὸν λαὸν αὐτοῦ,
καὶ ἐξελθέτωσαν, ὅσοι εἰς θάνατον, εἰς θάνατον:
ὅσοι εἰς μάχαιραν, εἰς μάχαιραν: καὶ ὅσοι εἰς λι-
μὸν, εἰς λιμόν: καὶ ὅσοι εἰς αἰχμαλωσίαν, εἰς
αἰχμαλωσίαν. Εἰ δὲ ἐγίνετο ὡσεὶ χιὼν λαμ-
πρὸς, ἐγίνωσκεν ὁ λαὸς ὅτι οὐδαμοῦ ἁμαρ-
τία: καὶ